αὑτὸν ἡγεῖσθαι τὸν φίλον καὶ προσαγορεύειν ἑταῖρον ὡς ἕτερον
οὐδέν ἐστιν ἄλλο πλὴν μέτρῳ φιλίας τῇ δυάδι χρωμένων. οὔτε
γὰρ δούλους οὔτε φίλους ἔστι κτήσασθαι πολλοὺς ἀπ᾽ ὀλίγου
νομίσματος. τί οὖν νόμισμα φιλίας; εὔνοια καὶ χάρις μετ᾽
ἀρετῆς, ὧν οὐδὲν ἔχει σπανιώτερον ἡ φύσις. ὅθεν τὸ σφόδρα
φιλεῖν καὶ φιλεῖσθαι πρὸς πολλοὺς οὐκ ἔστιν, ἀλλ᾽ ὥσπερ οἱ
F ποταμοὶ πολλὰς σχίσεις καὶ κατατομὰς λαμβάνοντες ἀσθενεῖς
καὶ λεπτοὶ ῥέουσιν, οὕτως †τῷ φιλεῖν ἡ ψυχὴ σφοδρὰ πέφυ-
κεν, εἰς πολλοὺς δὲ μεριζομένη ἐξαμαυροῦται. διὸ καὶ τῶν
ζῴων τὸ φιλότεκνον τοῖς μονοτόκοις ἰσχυρότερον ἐμφύεται,
□ 94 καὶ Ὅμηρος ἀγαπητὸν υἱὸν ὀνομάζει | ‘μοῦνον τηλύγετον’
(*I* 482 *π* 19), τουτέστι μήτ᾽ ἔχουσιν ἕτερον γονεῦσι μήθ᾽ ἕξουσι
γεγενημένον. (**3.**) τὸν δὲ φίλον ἡμεῖς ‘μοῦνον’ μὲν οὐκ ἀξιοῦ-
μεν εἶναι, μετ᾽ ἄλλων δὲ τηλύγετός τις καὶ ὀψίγονος ἔστω, τὸν
θρυλούμενον ἐκεῖνον χρόνῳ τῶν ἁλῶν συγκατεδηδοκὼς μέδι-
μνον, οὐχ ὥσπερ νῦν πολλοὶ φίλοι λεγόμενοι συμπιόντες ἅπαξ
ἢ συσφαιρίσαντες ἢ συγκυβεύσαντες ἢ συγκαταλύσαντες ἐκ
πανδοκείου καὶ παλαίστρας καὶ ἀγορᾶς φιλίας συλλέγουσιν. ἐν
δὲ ταῖς τῶν πλουσίων καὶ ἡγεμονικῶν οἰκίαις πολὺν ὄχλον
καὶ θόρυβον ἀσπαζομένων καὶ δεξιουμένων καὶ δορυφορούν-
B των ὁρῶντες εὐδαιμονίζουσι τοὺς πολυφίλους. καίτοι πλείονάς
γε μυίας ἐν τοῖς ὀπτανείοις αὐτῶν ὁρῶσιν· ἀλλ᾽ οὔτε αὗται
τῆς λιχνείας οὔτε ἐκεῖνοι τῆς χρείας ἐπιλιπούσης παραμένουσιν.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391017X/194 UNIVERSITÄT LEIPZIG